The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following thirty-seven representative MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. 1761 and 2554 have no variants.

# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α[1]

*[Greeting]*

**1**.1 Παυλος, αποστολος Ιησου Χριστου κατ᾽ επιταγην Θεου Σωτηρος ἡμων και Κυριου Ιησου
Χριστου[2] της ελπιδος ἡμων, 2 Τιμοθεω, γνησιω τεκνω εν πιστει: Χαρις, ελεος, ειρηνη απο Θεου
Πατρος ἡμων και Χριστου Ιησου του Κυριου ἡμων.

## [Opening considerations]

*[Paul refers to their last conversation]*

**1**.3 Καθως παρεκαλεσα σε προσμειναι εν Εφεσω, πορευομενος εις[3] Μακεδονιαν, ἱνα παραγγειλης
τισιν μη ἑτεροδιδασκαλειν 4 μηδε προσεχειν μυθοις και γενεαλογιαις απεραντοις, αἱτινες
ζητησεις παρεχουσιν μαλλον ἠ οικονομιαν[4] Θεου την εν πιστει. 5 Το δε[5] τελος της παραγγελιας
εστιν αγαπη, εκ καθαρας καρδιας και συνειδησεως αγαθης και πιστεως ανυποκριτου· 6 ὡν τινες
αστοχησαντες εξετραπησαν εις ματαιολογιαν, 7 θελοντες ειναι νομοδιδασκαλοι,[6] μη νοουντες μητε
ἁ λεγουσιν μητε περι τίνων διαβεβαιουνται.

[What law is for]

8 Οιδαμεν δε ὁτι καλος ὁ νομος εαν τις αυτω[7] νομιμως χρηται, 9 ειδως τουτο, ὁτι δικαιω
νομος ου κειται,[8] ανομοις δε και ανυποτακτοις, ασεβεσι και ἁμαρτωλοις, ανοσιοις[9] και βεβηλοις,
πατραλοιαις[10] και μητραλοιαις,[11] ανδροφονοις, 10 πορνοις, αρσενοκοιταις, ανδραποδισταις,
ψευσταις, επιορκοις, και ει τι ἑτερον τη ὑγιαινουση[12] διδασκαλια[13] αντικειται 11 κατα το
ευαγγελιον της δοξης του μακαριου Θεου, ὃ επιστευθην εγω.

*[The grace of God]*

12 Και[14] χαριν εχω τω ενδυναμωσαντι με Χριστω Ιησου, τω Κυριω ἡμων, ὁτι πιστον με
ἡγησατο,[15] θεμενος εις διακονιαν· 13 τον προτερον οντα βλασφημον και διωκτην και ὑβριστην·
αλλα ηλεηθην, ὁτι αγνοων εποιησα εν[16] απιστια· 14 ὑπερεπλεονασεν δε ἡ χαρις του Κυριου ἡμων,
μετα πιστεως και αγαπης της εν Χριστω Ιησου. 15 Πιστος ὁ λογος και πασης αποδοχης αξιος: ὁτι
Χριστος Ιησους ηλθεν εις τον κοσμον ἁμαρτωλους σωσαι—ὧν πρωτος ειμι εγω· 16 αλλα δια τουτο
ηλεηθην, ἱνα εν εμοι, πρωτω, ενδειξηται Ιησους Χριστος την πασαν μακροθυμιαν, προς
ὑποτυπωσιν των μελλοντων πιστευειν επ᾽ αυτω εις ζωην αιωνιον. 17 Τω δε Βασιλει των αιωνων,
αφθαρτω, αορατω, μονω σοφω Θεω, τιμη και[17] δοξα εις τους αιωνας των αιωνων. Αμην.

## [A charge to Timothy]

*[Wage the good warfare]*

**1**.18 Ταυτην την παραγγελιαν παρατιθεμαι σοι, τεκνον Τιμοθεε, κατα τας προαγουσας[18] επι σε
προφητειας, ἱνα στρατευη εν αυταις την καλην στρατειαν, 19 εχων πιστιν και αγαθην συνειδησιν

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] χριστου || --- 1247
[3] εις || εν 1247
[4] οικονομιαν || εικονομιαν 959
[5] δε || --- 986
[6] νομοδιδασκαλοι || διδασκαλοι 201
[7] αυτω || αυτον 959
[8] κειται || κεικειται 1503 (from one line to the next)
[9] ανοσιοις || ανασιοις 1897[v]
[10] πατραλοιαις || πατραλιαις 432 || πατρολωαις [34%] 201,757,824,986,1072,1075,1503,1637,1864,1865,1876,1892,2080,2723
[11] μητραλοιαις || μητραλαιαις 35 || μηπατραλιαις 432 || μητρολωαις [40%] 201,757,824,986,1072,1075,1503,1637,1864,1865,1876,1892,2080,2723
[12] υγιαινουση || υγιαινουσι 1732
[13] διδασκαλια || διδακαλια 1892
[14] και || --- [8%] 1250,1892
[15] ηγησατο || ηγασατο 1249
[16] εν || εις 18
[17] και 35[c] || --- [50%] 35,1892
[18] προαγουσας || προαγαγουσας 1247

(ἥν τινες απωσαμενοι περι την πιστιν εναυαγησαν· 20 ὧν εστιν Ὑμεναιος και Αλεξανδρος—οὓς
παρεδωκα τω Σατανα ἱνα παιδευθωσιν μη βλασφημειν).

*[About prayer]*

**2**.1 Παρακαλω ουν πρωτον παντων ποιεισθαι δεησεις, προσευχας, εντευξεις, ευχαριστιας,
ὑπερ παντων ανθρωπων[1] 2—ὑπερ βασιλεων και[2] παντων των εν[3] ὑπεροχη οντων, ἱνα ηρεμον[4] και
ἡσυχιον βιον διαγωμεν εν παση ευσεβεια[5] και σεμνοτητι. 3 Τουτο γαρ καλον και αποδεκτον
ενωπιον του Σωτηρος ἡμων Θεου, 4 ὃς παντας ανθρωπους θελει σωθηναι και εις επιγνωσιν
αληθειας ελθειν. 5 Εἱς γαρ Θεος, εἱς και[6] μεσιτης Θεου και ανθρωπων—ανθρωπος!—Χριστος
Ιησους, 6 ὁ δους ἑαυτον αντιλυτρον ὑπερ παντων (το μαρτυριον καιροις ιδιοις), 7 εις ὃ ετεθην
εγω κηρυξ και αποστολος—αληθειαν λεγω εν Χριστω, ου ψευδομαι—διδασκαλος εθνων εν πιστει
και αληθεια.

8 Βουλομαι ουν προσευχεσθαι τους ανδρας εν παντι τοπω, επαιροντας ὁσιους χειρας χωρις
οργης και διαλογισμου.[7] 9 Ὡσαυτως και τας γυναικας, εν καταστολη κοσμιω μετα αιδους και
σωφροσυνης κοσμειν ἑαυτας· μη εν πλεγμασιν[8] ἢ χρυσω ἢ μαργαριταις ἢ ἱματισμω πολυτελει,[9]
10 αλλ', ὃ πρεπει γυναιξιν επαγγελλομεναις[10] θεοσεβειαν, δι' εργων αγαθων.

*[About women]*

11 Γυνη εν ἡσυχια μανθανετω, εν παση ὑποταγη. 12 Γυναικι[11] δε διδασκειν ουκ επιτρεπω,
ουδε αυθεντειν[12] ανδρος, αλλ' ειναι εν ἡσυχια. 13 Αδαμ γαρ πρωτος επλασθη, ειτα Ευα. 14 Και
Αδαμ ουκ ηπατηθη· ἡ δε γυνη, απατηθεισα,[13] εν παραβασει γεγονεν. 15 Σωθησεται δε δια της
Τεκνογονιας—εαν μεινωσιν εν πιστει και αγαπη[14] και ἁγιασμω, μετα σωφροσυνης.

### [Qualifications]

*[Of overseers]*

**3**.1 Πιστος ὁ λογος: ει τις επισκοπης ορεγεται, καλου εργου επιθυμει. 2 Δει ουν τον επισκοπον
ανεπιληπτον ειναι, μιας γυναικος ανδρα, νηφαλιον,[15] σωφρονα, κοσμιον, φιλοξενον, διδακτικον,
3 μη παροινον, μη πληκτην, μη αισχροκερδη,[16] αλλ' επιεικη, αμαχον, αφιλαργυρον·[17] 4 του ιδιου
οικου καλως προισταμενον,[18] τεκνα εχοντα εν ὑποταγη μετα πασης σεμνοτητος 5 (ει δε τις[19] του
ιδιου οικου προστηναι ουκ οιδεν,[20] πως εκκλησιας Θεου επιμελησεται?)· 6 μη νεοφυτον, ἱνα μη
τυφωθεις εις κριμα εμπεση του διαβολου. 7 Δει δε αυτον και μαρτυριαν καλην εχειν[21] απο των
εξωθεν, ἱνα μη εις ονειδισμον εμπεση και παγιδα του διαβολου.

*[Of deacons]*

8 Διακονους ὡσαυτως σεμνους, μη διλογους, μη οινω πολλω προσεχοντας, μη
αισχροκερδεις· 9 εχοντας το μυστηριον της πιστεως εν καθαρα συνειδησει. 10 Και οὑτοι δε
δοκιμαζεσθωσαν πρωτον· ειτα, διακονειτωσαν, ανεγκλητοι[22] οντες.

*[Of 'deaconesses']*

11 Γυναικας ὡσαυτως σεμνας, μη διαβολους, νηφαλιους,[23] πιστας εν πασιν.

---

[1] υπερ παντων ανθρωπων || --- 959
[2] και || 1 υπερ 959
[3] εν || --- 757
[4] ηρεμον || ἠρεμον [20%] 328,394
[5] ευσεβεια || ευσεβια 1897
[6] εις και || ~ 21 1548
[7] διαλογισμου || διαλογισμων [10%] 1892
[8] πλεγμασιν || 1 αργυριω 1892[c]
[9] πολυτελει || πολυτελη 1249
[10] επαγγελλομεναις || επαγγελομεναις 1855
[11] γυναικι || γυναιξι 328
[12] αυθεντειν || αυθετειν 1892
[13] απατηθεισα 1876[c] || απατηθησα 1732,1876
[14] και αγαπη || --- 959
[15] νηφαλιον || νηφαλεον 1247
[16] αισχροκερδη || αισχοκερδη 1247
[17] αφιλαργυρον || αφυλαργυρον 1768,2466
[18] προισταμενον || επισταμενον 959
[19] τις || της 959
[20] οιδεν || ειδε 201
[21] καλην εχειν || ~ 21 1075
[22] ανεγκλητοι || ανεγκλοιτοι 1768
[23] νηφαλιους || νηφαλεους [50%] 201

[Of deacons, again]

12 Διακονοι εστωσαν μιας γυναικος ανδρες, τεκνων καλως προισταμενοι και των ιδιων
οικων. 13 Οἱ γαρ καλως διακονησαντες βαθμον ἑαυτοις καλον περιποιουνται και πολλην
παρρησιαν εν πιστει τη εν Χριστω Ιησου.

*[God in flesh]*

14 Ταυτα σοι γραφω, ελπιζων ελθειν προς σε ταχιον, 15 εαν δε βραδυνω, ἱνα ειδης πως
δει εν οικω Θεου αναστρεφεσθαι, ἡτις εστιν[1] εκκλησια Θεου ζωντος, στυλος και ἑδραιωμα της
αληθειας. 16 Και, ὁμολογουμενως μεγα εστιν το της ευσεβειας μυστηριον: Θεος εφανερωθη εν
σαρκι, εδικαιωθη εν πνευματι, ωφθη αγγελοις,[2] εκηρυχθη εν εθνεσιν, επιστευθη εν κοσμω,
ανεληφθη εν δοξη!

## [About doctrine]

*[Things taught by demons]*

**4**.1 Το δε Πνευμα ῥητως λεγει ὁτι εν ὑστεροις καιροις αποστησονται τινες της πιστεως,
προσεχοντες πνευμασιν πλανοις[3] και διδασκαλιαις δαιμονιων 2—εν ὑποκρισει ψευδολογων
κεκαυτηριασμενων την ιδιαν συνειδησιν, 3 κωλυοντων γαμειν, απεχεσθαι βρωματων ἃ ὁ Θεος
εκτισεν εις μεταληψιν μετα[4] ευχαριστιας[5] τοις πιστοις και επεγνωκοσι την αληθειαν. 4 Ὁτι παν
κτισμα Θεου καλον, και ουδεν αποβλητον μετα ευχαριστιας λαμβανομενον, 5 ἁγιαζεται γαρ δια
λογου Θεου και εντευξεως.

*[A good servant of Jesus Christ]*

6 Ταυτα ὑποτιθεμενος τοις αδελφοις καλος[6] εση διακονος Ιησου Χριστου, εντρεφομενος
τοις λογοις της πιστεως και της καλης διδασκαλιας ᾗ[7] παρηκολουθηκας. 7 Τους δε βεβηλους και
γραωδεις μυθους παραιτου· γυμναζε δε σεαυτον προς ευσεβειαν. 8 Ἡ γαρ σωματικη γυμνασια προς
ολιγον εστιν ωφελιμος, ἡ δε ευσεβεια προς παντα[8] ωφελιμος εστιν, επαγγελιας εχουσα ζωης της
νυν και της μελλουσης.

*[A trustworthy word]*

9 Πιστος ὁ λογος και πασης αποδοχης αξιος 10 (εις τουτο γαρ και κοπιωμεν και
ονειδιζομεθα):[9] ὁτι ηλπικαμεν επι Θεω ζωντι, ὅς εστιν Σωτηρ παντων ανθρωπων,[10] μαλιστα
πιστων.

*[Watch your life and doctrine]*

11 Παραγγελλε ταυτα και διδασκε. 12 Μηδεις σου της νεοτητος καταφρονειτω, αλλα τυπος
γινου των πιστων εν λογω, εν αναστροφη, εν αγαπη, εν πνευματι, εν πιστει, εν ἁγνεια. 13 Ἑως
ερχομαι προσεχε τη αναγνωσει, τη παρακλησει, τη διδασκαλια. 14 Μη αμελει του εν σοι
χαρισματος, ὃ εδοθη σοι δια προφητειας μετα επιθεσεως των χειρων του πρεσβυτεριου. 15 Ταυτα
μελετα· εν τουτοις ισθι, ἱνα σου ἡ προκοπη φανερα ᾖ[11] εν πασιν. 16 Επεχε[12] σεαυτω και τη
διδασκαλια· επιμενε[13] αυτοις, τουτο γαρ ποιων και σεαυτον σωσεις και τους ακουοντας[14] σου.

## [Relationships]

**5**.1 Πρεσβυτερω μη επιπληξης, αλλα παρακαλει ὡς πατερα,[15] νεωτερους[16] ὡς αδελφους,
2 πρεσβυτερας ὡς μητερας, νεωτερας ὡς αδελφας, εν παση ἁγνεια.

*[Honor true widows]*

3 Χηρας τιμα τας οντως χηρας. 4 Ει δε τις χηρα τεκνα ἢ[17] εκγονα[18] εχει, μανθανετωσαν
πρωτον τον ιδιον οικον ευσεβειν και αμοιβας αποδιδοναι τοις προγονοις, τουτο γαρ εστιν

---

[1] εστιν || 1 η 444
[2] αγγελοις || αγγελος 18
[3] πλανοις 1876c || πλανης [30%] 201,328,394,604,928,959,1247,1249,1855,1876,2080
[4] μετα || μετ 959
[5] ευχαριστιας || ευχαριστειας 1768,1876 2x
[6] καλος || καλως 2466
[7] η || ης 386
[8] παντα || παντας 959
[9] ονειδιζομεθα || ονειζομεθα 1892
[10] ανθρωπων || --- 18,328,1100 (a possible case of homoioteleuton)
[11] φανερα η || ~ 21 2466
[12] επεχε || προσεχε 2080
[13] επιμενε || επινε 2466 (from one line to the next)
[14] ακουοντας || ακοοντας 201
[15] πατερα || πατερας 959
[16] νεωτερους || νεοτερους 1732 (twice)
[17] ἢ || ἤ 757
[18] εκγονα || εγγονα [10%] 328,394,928,959,1247,1249,1855,2587

αποδεκτον ενωπιον του Θεου. 5 Ἡ δε οντως χηρα και μεμονωμενη[1] ηλπικεν επι τον Θεον, και
προσμενει[2] ταις δεησεσιν και ταις προσευχαις νυκτος και ἡμερας. 6 Ἡ δε σπαταλωσα ζωσα
τεθνηκεν.

7 Και ταυτα παραγγελλε, ἱνα ανεπιληπτοι ωσιν. 8 Ει δε τις των[3] ιδιων, και μαλιστα των
οικειων, ου προνοει, την πιστιν ηρνηται και εστιν απιστου χειρων.

9 Χηρα καταλεγεσθω μη ελαττον[4] ετων ἑξηκοντα[5] γεγονυια, ἑνος ανδρος γυνη, 10 εν εργοις
καλοις μαρτυρουμενη—ει ετεκνοτροφησεν, ει εξενοδοχησεν, ει ἁγιων ποδας ενιψεν, ει θλιβομενοις
επηρκεσεν, ει παντι εργω αγαθω επηκολουθησεν.[6]

*[About younger widows]*

11 Νεωτερας δε[7] χηρας παραιτου· ὁταν γαρ καταστρηνιασωσιν του Χριστου, γαμειν
θελουσιν,[8] 12 εχουσαι κριμα ὁτι την πρωτην πιστιν ηθετησαν.[9] 13 Ἁμα δε και, αργαι
μανθανουσιν,[10] περιερχομεναι τας οικιας· ου μονον δε αργαι, αλλα και φλυαροι και περιεργοι,
λαλουσαι τα μη δεοντα. 14 Βουλομαι ουν νεωτερας[11] γαμειν,[12] τεκνογονειν, οικοδεσποτειν,
μηδεμιαν αφορμην διδοναι τω αντικειμενω λοιδοριας χαριν. 15 (Ηδη γαρ τινες εξετραπησαν
οπισω του Σατανα.)

16 Ει τις πιστος ἡ πιστη εχει χηρας, επαρκειτω αυταις και μη βαρεισθω ἡ εκκλησια, ἱνα
ταις οντως χηραις επαρκεση.

*[Honor elders]*

17 Οἱ καλως προεστωτες πρεσβυτεροι διπλης τιμης αξιουσθωσαν, μαλιστα οἱ κοπιωντες εν
λογω και διδασκαλια.[13] 18 Λεγει γαρ ἡ Γραφη: "Βουν ἁλοωντα[14] ου φιμωσεις", και "Αξιος ὁ
εργατης του μισθου αυτου".

19 Κατα πρεσβυτερου κατηγοριαν μη παραδεχου εκτος ει μη επι δυο ἡ τριων μαρτυρων.
20 Τους ἁμαρτανοντας ενωπιον παντων ελεγχε, ἱνα και οἱ λοιποι φοβον εχωσιν.

*[Watch your step]*

21 Διαμαρτυρομαι ενωπιον του Θεου και Κυριου Ιησου Χριστου και των εκλεκτων[15]
αγγελων ἱνα ταυτα φυλαξης χωρις προκριματος, μηδεν ποιων κατα προσκλισιν.[16] 22 Χειρας
ταχεως μηδενι επιτιθει, μηδε κοινωνει ἁμαρτιαις αλλοτριαις. Σεαυτον ἁγνον τηρει.

23 Μηκετι ὑδροποτει, αλλ' οινω ολιγω χρω δια τον στομαχον σου και τας πυκνας[17] σου
ασθενειας.

24 Τινων ανθρωπων αἱ[18] ἁμαρτιαι προδηλοι εισιν, προαγουσαι[19] εις κρισιν, τισιν δε και
επακολουθουσιν. 25 Ὡσαυτως και τα καλα εργα προδηλα εστιν· και τα αλλως εχοντα κρυβηναι[20]
ου δυνανται.

---

[1] μεμονωμενη || μεμονομενη 757

[2] προσμενει || προσμενη 959

[3] 1864 is missing 5:8 – 2 Tim. 1:12

[4] ελαττον || ελλατον 1876

[5] ετων ἑξηκοντα || ~ 21 1768

[6] επηκολουθησεν || επικολουθησεν 1548

[7] δε || --- 201,1732

[8] θελουσιν || θελωσιν 1892

[9] ηθετησαν || ηθετισαν 1876

[10] μανθανουσιν || μανθανουσε 757

[11] νεωτερας || 1 χηρας [15%] 604,1768,2080

[12] νεωτερας γαμειν 2466[c] || --- 2466

[13] διδασκαλια || διδασκαλιαι 824 (apparently)

[14] ἁλοωντα [30%] 18,201,604,757,824,986,1072,1075,1100,1503,1548,1637,1725,1732,1740,1761,1768,1876,1892,2080,2352,2466
αλοωντα 35,328,386,394,444,959,1247,1249,1855,1865,2587,
ambiguous 204,928,1617,2431,2554,2723 (1864 missing) (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.)

[15] εκλεκτων 204[c] || --- 204 || εκκλεκτων 1876

[16] προσκλισιν 18,35[alt],201,328,386,394,757[alt],824,928,959,1072,1075,1503[alt],1725,1761,1855[c],1876,1892[alt],1897,2080[alt],2466[alt],2554,2587 (1864 missing)
προσκλησιν [75%] 35,204,386[alt],444,604,757,986,1100,1247,1249,1503,1548,1637,1732,1768,1855,1865,1892,2080,2466,2723 (Although there is an even split in the MSS, the alternates give a clear advantage to the *iota*, that also has 432, 547, 1617, 1652, 1740, 2352 and 2431, that I spot-checked.)

[17] πυκνας || πικνας 1876

[18] αι || --- 1892 (homoioarcton)

[19] προαγουσαι || προαγουσιν 1247

[20] κρυβηναι || κριβηναι 201

*[Slaves honor owners]*

**6**.1 Ὅσοι εισιν ὑπο ζυγον[1] δουλοι τους ιδιους δεσποτας πασης τιμης αξιους ἡγεισθωσαν,
ἱνα μη το ονομα[2] του Θεου και ἡ διδασκαλια βλασφημηται. 2 Οἱ δε πιστους εχοντες[3] δεσποτας μη
καταφρονειτωσαν ὁτι αδελφοι εισιν· αλλα μαλλον δουλευετωσαν, ὁτι πιστοι εισιν και αγαπητοι
οἱ της ευεργεσιας αντιλαμβανομενοι.

*[Conclusion to 'Relationships']*

Ταυτα διδασκε και παρακαλει. 3 Ει τις ἑτεροδιδασκαλει και μη προσερχεται[4] ὑγιαινουσιν
λογοις, τοις του Κυριου ἡμων Ιησου Χριστου, και τη[5] κατ' ευσεβειαν διδασκαλια, 4 τετυφωται,
μηδεν επισταμενος· αλλα νοσων περι ζητησεις και λογομαχιας, εξ ὧν γινεται φθονος, ερις,
βλασφημιαι, ὑπονοιαι πονηραι, 5 διαπαρατριβαι διεφθαρμενων ανθρωπων τον νουν και
απεστερημενων[6] της αληθειας, νομιζοντων πορισμον ειναι την ευσεβειαν. Αφιστασο απο των
τοιουτων.

## [Concluding considerations]

*[Godliness with contentment]*

**6**.6 Εστιν δε πορισμος μεγας ἡ ευσεβεια[7] μετα αυταρκειας. 7 Ουδεν γαρ εισηνεγκαμεν[8] εις τον
κοσμον, δηλον ὁτι ουδε εξενεγκειν τι δυναμεθα. 8 Εχοντες[9] δε διατροφας και σκεπασματα τουτοις
αρκεσθησομεθα. 9 Οἱ δε βουλομενοι πλουτειν εμπιπτουσιν εις πειρασμον και παγιδα και[10]
επιθυμιας πολλας ανοητους και βλαβερας, αἱτινες βυθιζουσιν τους ανθρωπους εις ολεθρον και
απωλειαν· 10 ῥιζα γαρ παντων των κακων εστιν ἡ φιλαργυρια·[11] ἧς τινες ορεγομενοι
απεπλανηθησαν απο της πιστεως και ἑαυτους περιεπειραν οδυναις πολλαις.

*[Lay hold on eternal life]*

11 Συ δε, ω ανθρωπε του Θεου, ταυτα φευγε· διωκε δε[12] δικαιοσυνην, ευσεβειαν, πιστιν,
αγαπην, ὑπομονην, πραοτητα. 12 Αγωνιζου τον καλον αγωνα της πιστεως· επιλαβου της αιωνιου
ζωης εις ἣν και[13] εκληθης—και ὡμολογησας[14] την καλην ὁμολογιαν ενωπιον πολλων μαρτυρων.
13 Παραγγελλω σοι ενωπιον του Θεου του ζωοποιουντος τα παντα, και Χριστου Ιησου του
μαρτυρησαντος επι[15] Ποντιου Πιλατου την καλην ὁμολογιαν, 14 τηρησαι σε την εντολην ασπιλον,
ανεπιληπτον μεχρι της επιφανειας του Κυριου ἡμων Ιησου Χριστου, 15 ἣν καιροις ιδιοις δειξει—
ὁ μακαριος και μονος Δυναστης, ὁ Βασιλευς των βασιλευοντων και Κυριος των κυριευοντων·[16]
16 ὁ μονος εχων αθανασιαν, φως οικων απροσιτον· ὃν ειδεν[17] ουδεις ανθρωπων ουδε ιδειν
δυναται· ᾧ τιμη και κρατος αιωνιον. Αμην.

*[To the rich]*

17 Τοις πλουσιοις εν τω νυν αιωνι παραγγελλε μη ὑψηλοφρονειν, μηδε ηλπικεναι επι
πλουτου αδηλοτητι αλλ' εν τω Θεω τω ζωντι, τω παρεχοντι ἡμιν παντα πλουσιως εις απολαυσιν·
18 αγαθοεργειν, πλουτειν εν εργοις καλοις, ευμεταδοτους ειναι κοινωνικους 19—αποθησαυριζοντας
ἑαυτοις θεμελιον καλον εις το μελλον,[18] ἱνα επιλαβωνται[19] της αιωνιου[20] ζωης.

---

[1] εισιν υπο ζυγον || ~231 1892
[2] ονομα || ονοματα 18
[3] εχοντες || εχοντας 1247
[4] προσερχεται || προσερχηται 604
[5] τη || --- 1876
[6] απεστερημενων || απερημενων 1247
[7] ευσεβεια || ευσεβια 757
[8] εισηνεγκαμεν || ησενεγκαμεν 959
[9] εχοντες || εχοντας 1892
[10] και || 1 εις 986
[11] φιλαργυρια || φυλαργυρια 1075,1247,2466
[12] δε || --- 1247
[13] και || --- [60%] 204
[14] ωμολογησας || ομολογησας 1247
[15] επι || υπο 959
[16] 1876 omits και κυριος των κυριευοντων (homoioteleuton)
[17] ειδεν || οιδεν 757
[18] μελλον || μελλοι 1247
[19] επιλαβωνται || επιλαβονται 959
[20] αιωνιου || αινιου 959

*[A closing exhortation]*

20 Ω Τιμοθεε, την παραθηκην[1] φυλαξον! Εκτρεπομενος τας[2] βεβηλους κενοφωνιας και
αντιθεσεις της ψευδωνυμου[3] γνωσεως 21—ἥν τινες επαγγελλομενοι[4] περι την πιστιν[5] ηστοχησαν.
Ἡ χαρις μετα σου. Αμην.

[1] παραθηκην 35c || παρακαταθηκην [20%] 35,604,1732c,1768,2080
[2] τας || δε 1 1892
[3] ψευδωνυμου || ψευδονυμου 959
[4] επαγγελλομενοι || επαγγελομενοι 328 (from one line to the next)
[5] πιστιν || πιστην 2466